**17** (11 Md.) Alc. Mess. AP 7, 536 (13 G.-P.)

*Οὐδὲ θανὼν ὁ πρέσβυς ἐφῷ ἐπιτέτροφε τύμβῳ*
*βότρυν ἀπ᾽ οἰνάνθης ἥμερον, ἀλλὰ βάτον*
*καὶ πνιγόεσσαν ἄχερδον ἀποστύφουσαν ὁδιτῶν*
*χείλεα καὶ δίψει καρφαλέον φάρυγα.*
*ἀλλά τις Ἱππώνακτος ἐπὴν παρὰ σῆμα νέηται,*
*εὐχέσθω κνώσσειν εὐμενέοντα νέκυν.*

**17a** (14 Md.) Tzetz. Diff. poet. 157–166 (An. Ox. 3, 339, 17–26 Cramer; Scholl. in Ar. 1, 1 A, 92s Koster)

*ἰαμβογράφους γλωττοτοξότας νόει*
*Πάριον Ἀρχίλοχον αἰσχρὸν ἐν λόγοις*
*καὶ δεινὸν Ἱππώνακτα πικρίας πλέων*
*οὗπερ παρεισέγραψέ τις τύμβῳ τάδε·*
*'οὐ βότρυν, ἀλλ᾽ ἄχερδον ἐν τάφῳ φέρει*
*στύφοντα, πικραίνοντα πικρίᾳ λόγων·*
*ἀλλά τις Ἱππώνακτος ἐλθὼν εἰς τάφον*
*τὸν ἄνδρα κνώσσειν εὐμενῶς εὔχου κάτω.'*
*ἰὸν δέ πως βάζοντες ἐν πικροῖς λόγοις,*
*κλῆσιν κατεπλούτησαν ἰαμβογράφων.*